nam & diuitias plerunque ponunt eſſe multitudinem pecuniæ, ex eo videlicet, quòd circa illam intendunt pecuniaria & quæſtuaria. Contrà verò interdum futile quidem videntur numus & lex omnino, & nequicquam ſecundum naturam, quoniam mutatis iis qui vtuntur, nullius pretij aut vtilitatis eſt ad aliquod neceſſariorum. & locuples numis penuriam patietur neceſſarij alimenti. Atqui abſurdum eſt, tales eſſe diuitias affirmare, quarum abundans quis fame perire poſſit, vt de Mida fabulis traditur, cui propter inſatiabilitatem deſiderij, quicquid apponebatur, fiebat aurum. Quamobrem quærunt diuitias alias, & aliam acquirendi rationem. Et rectè quidem. eſt enim alia acquirendi ratio, & diuitiæ ſecundum naturam. & hæc quidem rei familiaris diſciplina: illa verò pecuniaria: pecuniarum effectiua non ſimpliciter, ſed & per ipſarum pecuniarum commutationem. & videtur circa numum iſta verſari: nam numus primum eſt, & vltimum in commutatione. Et infinitæ ſunt huiuſmodi diuitiæ, quæ ab hac ratione rei augendæ proficiſcuntur. Vt enim medicina ſanitatis in infinitum eſt, & vnaquęque ars finis in infinitum: nam quam maximè volunt illum efficere: eorum verò quæ ſunt ad finem, non in infinitum: finis enim extremum omnibus: ſic & huius rationis augendæ rei non eſt finis terminus. Finis autem tales diuitiæ, & pecuniarum poſſeſſio: ſed rei familiaris, non augēdæ rei nō eſt finis. non enim hoc eſt rei familiaris opus. quapropter in hac videtur neceſſarium, vt ſit finis omnium diuitiarum. Sed contra video fieri: omnes enim in infinitum augent, qui pecuniis ſtudent. Cauſa verò huius eſt illarū propinquitas: variatur enim vſus eiuſdem rei, cùm ſit vtriuſque acquiſitionis. ipſius enim vſus acquiſitio, ſed non ſecundum idem. ac huius quidem alius finis, illius verò amplificatio. Quare videtur quibuſdam hoc eſſe rei familiaris opus, & perſeuerant exiſtimantes oportere aut conſeruare, aut augere pecuniam in infinitum. Cauſa verò eſt huius diſpoſitionis ſtudium viuendi. ſed non bene viuendi. cùm ergo cupiditas in infinitum extendatur, illa quoque quæ efficiunt infinita, cupiunt. Sed qui bene viuere ſtudent, ad fruitionem corporis diuitias quę-

A μάτων. καὶ γὰρ τὸν πλοῦτον πολλάκις τιθέασι νομίσματος πλῆθος, διὰ τὸ περὶ τοῦτ' εἶναι τὴν χρηματιστικὴν καὶ τὴν καπηλικήν· ὁτὲ δὲ πάλιν λῆρος εἶναι δοκεῖ τὸ νόμισμα, καὶ νόμος παντάπασι, φύσει δ' οὐθὲν, ὅτι μεταθεμένων τε τῶν χρωμένων, οὐθενὸς ἄξιον, οὔτε χρήσιμον πρὸς οὐδὲν τῶν ἀναγκαίων ἐστί. καὶ νομίσματος πλουτῶν, πολλάκις ἀπορήσει τῆς ἀναγκαίας τροφῆς. καίτοι ἄτοπον
B τοιοῦτον εἶναι πλοῦτον, οὗ εὐπορῶν λιμῷ ἀπολεῖται· καθάπερ καὶ τὸν Μίδαν ἐκεῖνον μυθολογοῦσι διὰ τὴν ἀπληστίαν τῆς εὐχῆς, πάντων αὐτῷ γιγνομένων τῶν παρατιθεμένων χρυσῶν. διὸ ζητοῦσιν ἕτερόν τι τὸν πλοῦτον καὶ τὴν χρηματιστικὴν, ὀρθῶς ζητοῦντες. ἔστι γὰρ ἑτέρα ἡ χρηματιστικὴ, καὶ ὁ πλοῦτος ὁ κατὰ φύσιν· καὶ αὕτη μὲν οἰκονομι-
C κὴ, ἡ δὲ καπηλικὴ, ποιητικὴ χρημάτων, οὐ πάντως, ἀλλ' ἢ διὰ χρημάτων μεταβολῆς, καὶ δοκεῖ περὶ τὸ νόμισμα αὕτη εἶναι. τὸ γὰρ νόμισμα, στοιχεῖον καὶ πέρας τῆς ἀλλαγῆς ἐστι. καὶ ἄπειρος δὴ οὗτος ὁ πλοῦτος ὁ ἀπὸ ταύτης χρηματιστικῆς. ὥσπερ γὰρ ἡ ἰατρικὴ τοῦ ὑγιαίνειν εἰς ἄπειρόν ἐστι, καὶ ἑκάστη τῶν τεχνῶν τοῦ τέλους εἰς ἄπειρον· ὅτι μάλιστα γὰρ ἐκεῖνο βούλονται ποιεῖν· τῶν δὲ πρὸς τὸ τέλος, οὐκ εἰς
D ἄπειρον· πέρας γὰρ τὸ τέλος πάσαις· οὕτω καὶ ταύτης τῆς χρηματιστικῆς οὐκ ἔστι τοῦ τέλους πέρας. τέλος δὲ ὁ τοιοῦτος πλοῦτος, καὶ χρημάτων κτῆσις. τῆς δ' οἰκονομικῆς, οὐ χρηματιστικῆς ἐστι πέρας. οὐ γὰρ τοῦτο τῆς οἰκονομικῆς ἔργον. διὸ τῇ μὲν φαίνεται ἀναγκαῖον εἶναι παντὸς πλούτου πέρας· ἐπὶ δὲ τῶν γινομένων ὁρῶμεν συμβαῖνον τοὐναντίον.
E πάντες γὰρ εἰς ἄπειρον αὔξουσιν οἱ χρηματιζόμενοι τὸ νόμισμα· αἴτιον δὲ τὸ σύνεγγυς αὐτῶν. ἐπαλλάττει γὰρ ἡ χρῆσις τοῦ αὐτοῦ οὖσα ἑκατέρα τῆς χρηματιστικῆς. τῆς γὰρ αὐτῆς ἐστι χρήσεως κτῆσις, ἀλλ' οὐ κατὰ ταὐτόν· ἀλλὰ τῆς μὲν ἕτερον τέλος, τῆς δ' ἡ αὔξησις. ὥστε δοκεῖ τισὶ τοῦτ' εἶναι τῆς οἰκονομικῆς ἔργον, καὶ διατελοῦσιν, ἢ σώ-
F ζειν οἰόμενοι δεῖν, ἢ αὔξειν τὴν τοῦ νομίσματος οὐσίαν εἰς ἄπειρον. αἴτιον δὲ ταύτης τῆς διαθέσεως, τὸ σπουδάζειν περὶ τὸ ζῆν, ἀλλὰ μὴ τὸ εὖ ζῆν. εἰς ἄπειρον οὖν ἐκείνης τῆς ἐπιθυμίας οὔσης, καὶ τῶν ποιητικῶν ἄπειρον ἐπιθυμοῦσιν. ὅσοι δὲ καὶ τοῦ εὖ ζῆν ἐπιβάλλονται, τὸ πρὸς τὰς ἀπολαύσεις τὰς σωματικὰς